eul_wid: eyc-ab

*Ἔριφος ὁ κωμικός* · Eriphus the Comic Poet

# Fragments on Golden Apples

*Ἀποσπάσματα περὶ Μήλων Χρυσῶν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Λόγος γάρ ἐστ' ἀρχαῖος οὐ κακῶς ἔχων. οἶνον λέγουσι
book 1.2 τοὺς γέροντας, ὦ πάτερ, πείθειν
book 1.3 χορεύειν οὐ θέλοντας.
book 1.1 [spk_β]Καὶ περὶ μὲν ὄψου γ' ἠλίθιον τὸ καὶ λέγειν, ὥσπερ
book 1.2 πρὸς ἀπλήστους. ἀλλὰ ταυτὶ λάμβανε
book 1.3 παρθένε τὰ μῆλα. Β. καλάγε. Α. καλὰ δῆτ' ὦ θεοί. νεωστὶ γὰρ τὸ σπέρμα
book 1.4 τοῦτ' ἀφιγμένον[ln_5]εἰς τὰς Ἀθήνας ἐστὶ παρὰ τοῦ βασιλέως. Β. παρ' Ἑσπερίδων ᾤμην γε. Γ. νὴ τὴν Ἄρτεμιν, φησὶν τὰ χρυσᾶ μῆλα
book 1.5 ταῦτ' εἶναι. Β. τρία μόνον ἐστίν. Α. ὀλίγον τὸ καλόν ἐστι
book 1.6 πανταχοῦ καὶ τίμιον. Β. τούτων μὲν ὀβολόν, εἰ πολύ,
book 1.1 [ln_10][spk_α]τίθημι. λογιοῦμαι γάρ. Α. αὗται δὲ ῥόαι. Β. ὡς εὐγενεῖς. Α. τὴν γὰρ Ἀφροδίτην ἐν Κύπρῳ δένδρον
book 1.2 φυτεῦσαι
book 1.3 τοῦτό φασιν ἓν μόνον. Β. βέρβεια
book 1.4 πολυτίμητε. κᾆτα
book 1.5 τρεῖς μόνας καὶ τάσδ' ἐκόμισας; Α. οὐ γὰρ εἶχον
book 1.6 πλείονας.
book 2.1 Ὠιὰ λευκά γε καὶ μεγάλα· χήνει' ἐστίν, ὥς γ' ἐμοὶ δοκεῖ. οὗτος δέ φησι
book 2.2 ταῦτα τὴν Λήδαν
book 2.3 τεκεῖν.
book 3 Ταῦτα γὰρ οἱ πένητες οὐκ ἔχοντες ἀγοράσαι ὑπογάστριον θύννακος, οὐδὲ κρανίον λάβρακος, οὐδὲ γόγγρον, οὐδὲ σηπίας, ἃς οὐδὲ μάκαρας ὑπερορᾶν οἶμαι θεούς.
book 4.1 Ἐκπεπίῃ δέκας
book 4.2 πρὶν ἀγαθοῦ πρῶτον δαίμονος λαβεῖν, πρὶν Διὸς
book 4.3 σωτῆρος.
book 1.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τάδ’ οὐ Κόρινθος οὔτε Λαΐ̈ς, ὦ Σύρε, οὐδ’ εὐτραπέζων Θετταλῶν ξένων
τροφαί, ὧν οὐκ ἄμοιρος ἥδε
χεὶρ ἐγίγνετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org